Si l'on suppose le mois lunaire de trente jours, et si l'on fait abstraction des irrégularités de la lune, étant donné qu'au bout de 30 jours elle repassera au méridien à la même heure ; que chaque jour elle passe au méridien un peu plus tard que le soleil, on pourra en conclure, le retard au bout de 30 jours atteignant 24 heures, que chaque jour le retard dans le passage au méridien augmente de 24/30 ou 4/5 d'heure. Une façon naïve de dresser une table des levers et des couchers de la lune est d'admettre que ce retard de 4/5 d'heure dans le passage au méridien se traduit par un retard équivalent dans le lever et le coucher. Cette manière de procéder est celle de Vettius Valens, dont la table correspond exactement à celle que Bilfinger a retrouvée par le calcul, avant que fût publié cet astrologue. Il faut seulement pour le huitième jour corriger le chiffre de l'édition Kroll (p. 28, 14) *ϛʹ ϛʹ ιεʹ* en *ϛʹ γʹ ιεʹ* et pour le treizième (p. 28, 16) *ιγʹ ιεʹ* en *ιʹ γʹ ιεʹ*.

Les deux passages de Pline invoqués par Bilfinger donnent des règles différentes. L'un (XVIII, 324) dit que les heures du lever et du coucher progressent chaque jour d'un *sextans* et d'un *siculus* (10/12 + 1/48). Cette règle suppose que la pleine lune est atteinte en 14 jours, c'est à dire qu'elle progresse par jour de douze heures divisées par 14 soit de 6/7 d'heure, ce qui rend à peu de chose près la notation romaine de Pline en fractions d'as. Ce système n'est pas celui que suivent les *Geoponica*.

Au contraire selon l'autre passage de Pline (II, 58), le retard quotidien du lever et du coucher est d'un *dodrans* et d'une *semiuncia*,

c'est à dire de 9/12 + 1/24, ce qui répond presque exactement aux 4/5 de Vettius Valens, exprimés en fractions d'as.

Si dans le texte de Zoroastre, on traduit avec Bilfinger *μόριον* par 1/12 d'heure, à travers les irrégularités de la tradition manuscrite, on peut reconnaître l'application de la règle de Pline, qui remonte à la même source que celle de Valens. Cette source est probablement quelque ouvrage des Chaldéens, auxquels se rattache le Pseudo-Zoroastre et que suit souvent Pline dans son II[e] livre. Mais si *μόριον* veut bien dire un douzième d'heure, Cassianus Bassus doit avoir connu cette théorie orientale par l'intermédiaire d'un astronome romain usant des divisions de l'as. Les Babyloniens, de même qu'ils partageaient l'année en douze mois de trente jours, divisaient le nychthémère en douze heures (*danna*), dont chacune équivalait à deux des nôtres, et qui étaient subdivisées en trente *geš*, dont la durée était donc de quatre minutes (Thureau-Dangin, *Esquisse du système sexagésimal*, 1932, p. 42). Nous n'avons, semble-t-il, aucun indice que les Chaldéens de l'époque grecque aient jamais divisé en douzièmes l'heure diurne ou nocturne comme le jour et la nuit.

Beckh a procédé d'une façon assez arbitraire, introduisant souvent dans son texte les corrections de Bilfinger, mais parfois suivant, en dépit de ces rectifications, la tradition manuscrite. Comme nous ignorons jusqu'à quel point l'auteur des *Geoponica* a transcrit des chiffres exacts, nous avons préféré conserver toujours dans le texte la leçon des manuscrits, bien qu'elle soit parfois d'une incorrection évidente. Ainsi le chiffre du dixième jour est plus petit que celui du neuvième, et la même anomalie se retrouve pour le 24[e] et le 25[e] jour. Les mss. donnent pour le treizième jour 16 *μόρια*, pour le dix-septième 17, pour le vingtième encore 16, ce qui est absurde, si vraiment le *μόριον* est 1/12 d'heure. De plus, les deux parties de la liste (jours 1 à 15 et 15 à 30) sont visiblement symétriques et quand les nombres donnés ne concordent pas, l'un des deux est sûrement corrompu. En indiquant dans les notes la correction la plus probable, nous avons ajouté celle de Bilfinger, qui devrait représenter le chiffre originel. Nous reproduisons enfin en un tableau, d'après les tables dressées par notre collaborateur, l'abbé Rome, les chiffres de Bilfinger, ceux de Valens et ceux de l'auteur des *Geoponica* ou du moins des mss. qui nous ont conservé sa compilation :

Jour	Valens	Bilfinger	*Geoponica*	Jour	Bilfinger	*Geoponica*
1r	0 4/5	0 9,5/12	0 1/2	16e	0 9,5/12	0 1/2
2e	1 3/5	1 7/12	1 1/2	17e	1 7/12	1+17 (lire 7) μ.
3e	2 2/5	2 4,5/12	2 1/4 (lire + 4 1/2 μ.)	18e	2 4,5/12	2+4 1/2 μ.
4e	3 1/5	3 2/12	3 1/3	19e	3 2/12	3+3 μ.
5e	4	3 11,5/12	3+6 (var 16) μ.	20e	3 11,5/12	3+16 (l. 6) μ.
6e	4 4/5	4 9/12	4+9 μ.	21e	4 9/12	4+9 μ.
7e	5 3/5	5 6,5/12	5+6 1/2 μ.	22e	5 6.5/12	5+6 1/2 μ.
8e	6 2/5	6 4/12	6+4 μ. (v. 6 1/4)	23e	6 4/12.	6+4 μ. (var. 6 1/4)
9e	7 1/5	7 1,5/12	7+11 1/2 (lire 1 1/2)μ.	24e	7 1,5/12	7+11 1/2 (lire 1 1/2)μ.
10e	8	7 11/12	7+11 μ.	25e	7 11/12	7+11 μ.
11e	8 4/5	8 8,5/12	8+8 1/2 μ.	26e	8 8,5/12	8+8 1/2 μ.
12e	9 3/5	9 6/12	9 1/2	27e	9 6/12	9+9 1/2 μ.(lire 9 1/2)
13e	10 2/5	10 3,5/12	10+16 (10 1/2?) μ.	28e	10 3,5/12	10+1 1/2 μ. (v. 16 μ).
14e	11 1/5	11 1/12	11+3 μ.	29e	11 1/12	11+3 μ. (var. 11 1/3)
15e	12	0 c.-à-d. 11 10,5/12 forcé en 12	0	30e	0 11 10,5/12 forcé	0

O 40. Ce chapitre se retrouve dans un ms. de Naples sous le nom d'Antiochus et il a été publié *Cat. codd. astrol.*, IV, p.154. Sa teneur est presque conforme à celle des *Geoponica.* Cf. l'Introduction, p. 121. — Au contraire, une rédaction différente nous est transmise par le plus ancien de tous nos mss. astrologiques, le *Laurentianus* XXVIII, 34 du Xe siècle [= *Cat. Astr.*, I, cod. Flor. 12], f. 123' et ses dérivés le *Paris.* 1991 [*Cat.*, VIII, 1, cod. 1], f. 16, et le *Paris.* 2139 [*Cat.* VIII, 3, cod. 36], f. 234v, dont le texte s'écarte considérablement de celui des *Geoponica* ; il est parfois abrégé ou lacuneux, mais une fois plus complet (signe du Lion), et l'ordre des signes a été modifié (cf. note 4). L'auteur du *Syntagma Laurentianum* n'a nulle part rien emprunté aux *Geoponica*, et cet extrait du Pseudo-Zoroastre, qu'il donne sans nom d'auteur, doit lui être parvenu par une autre voie. Nous avons donc reproduit ici cette seconde rédaction en regard de la première d'après une photographie du *Laurentianus*, qu'a bien voulu nous adresser Melle Teresa Lodi.

GEOPONICA

I, 8. — *Περὶ τῆς τοῦ Κυνὸς ἐπιτολῆς καὶ τῆς προγνώσεως τῶν ἐξ αὐτῆς συμβαινόντων. Τοῦ αὐτοῦ* (1).

1. *Ἡ τοῦ Κυνὸς ἐπιτολὴ γίνεται διαφαινούσης εἰκοστῆς τοῦ Ἰουλίου μηνός· χρὴ δὲ παρατηρεῖν, ἐν ποίῳ οἴκῳ* (3) *οὔσης τῆς σελήνης ἡ τούτου γίνεται ἀνατολή.* 2. *ἐν Λέοντι οὔσης τῆς σελήνης,ἐὰν ἀνατολὴ γένηται τοῦ Κυνός, σίτου φορὰ πολλὴ καὶ ἐλαίου καὶ οἴνου ἔσται καὶ τῶν ἄλλων πάντων εὐωνία· θόρυβος δὲ καὶ σφαγαὶ καὶ βασιλέως ἐπιφάνεια καὶ ἁπαλία τοῦ ἀέρος καὶ ἐπιδρομὴ ἔθνους ἐφ' ἕτερον ἔθνος, καὶ ἔσονται σεισμοὶ καὶ κλύδωνες.* 3. *ἐν Παρθένῳ δὲ οὔσῃ αὐτῆς, πολυομβρίαι, εὐφρασίας καὶ τικτουσῶν φθορά, σωμάτων καὶ τετραπόδων εὐωνία.* 4. *ἐν Ζυγῷ οὔσης αὐτῆς, βασιλέως κίνησις καὶ τετραπόδων ὄνησις καὶ ἐν τοῖς ὄχλοις θόρυβος, ἐλαίου σπάνις, σίτου φθορά, οἴνου*

Praeter codices ab editore Geoponicorum adhibitos contulimus Parisinos 2313, f. 43 s. XIII-XIV, et 2286, f. 109, s. XIV (*Ζωροάστρου περὶ τῆς τοῦ Κυνὸς ἐπιτολῆς*), sed varias lectiones fere omnes, quae ad sensum nihil pertinent, hic neglecimus. 7 *διαφανούσης* F ut Syntagma *εἰκοστῆς*] *κ'* codices plerique

SYNTAGMA LAURENTIANUM.

Ὅσα ἡ Σελήνη ἐν τῇ τοῦ Κυνὸς ἐπιτολῇ ἑκάστῳ ζῳδίῳ διερχομένη σημαίνει.

Ἡ τοῦ Κυνὸς ἀνατολὴ γίνεται διαφανούσης εἰκάδος (2) *τοῦ Ἰουλίου μηνός· χρὴ δὲ παρατηρεῖν ποίῳ οἴκῳ οὔσης τῆς σελήνης ἡ ἀνατολὴ γίνεται τοῦ Κυνός· ἐν Λέοντι* (4) *οὔσης τῆς σελήνης ἐὰν ἡ ἀνατολὴ γένηται τοῦ Κυνός, σίτου φθορὰ καὶ ἐλαίου καὶ οἴνου πολλὴ καὶ τῶν λοιπῶν πάντων εὐωνία, θόρυβος δὲ καὶ σφαγαὶ καὶ βασιλέως ἐπιφάνεια καὶ ἁπαλότης τοῦ ἀέρος καὶ ἐπιδρομὴ ἔθνους ἐπ' ἔθνος ἕτερον, καὶ ἔσονται σεισμοὶ καὶ κλύδωνες κατὰ πόντον καὶ ἀρχόντων μεγίστων θάνατος. ἐν Παρθένῳ οὔσης τῆς σελήνης, πολυομβρίαι καὶ εὐφρασίαι καὶ τικτουσῶν φθορά, σωμάτων καὶ τετραπόδων ἀπώλεια. ἐν Ζυγῷ οὔσης τῆς σελήνης, βασιλέως κίνησις καὶ τετραπόδων θνῆσις καὶ ἐν τοῖς ὄχλοις θόρυβος, ἐλαίου σπάνις, σίτου*

Orthographica neglecimus. 13 Leg. fort. *φορά* sicut Geop. 17 *ἁπαλότης* scripsimus : *ἁπλώτης* cod. 20 *κληδόνες κατὰ τόπον* cod., correximus 25 *ἀπολείαν* cod. 27 *κίνησιν* cod. 28 *θνήσης* cod.

δὲ καὶ ἀκροδρύων εὐφορία. 5. ἐν Σκορπίῳ οὔσης αὐτῆς, ἱερέων θόρυβοι καὶ μελιττῶν φθορὰ καὶ λοιμικὴ κατάστασις. 6. ἐν Τοξότῃ οὔσης αὐτῆς, εὐετηρία καὶ πολυομβρία καὶ σίτου εὐθηνία καὶ εὐφροσύνη ἐν τοῖς ἀνθρώποις · θρεμμάτων δὲ φθορά · τῶν δὲ πτηνῶν πολλὴ φορά. 7. ἐὰν ἐν Αἰγοκέρωτι οὔσης αὐτῆς ἡ ἐπιτολὴ γένηται, στρατοπέδων κίνησις καὶ πολυομβρία καὶ σίτου καὶ οἴνου καὶ ἐλαίου πολλὴ φορὰ καὶ πάντων εὐωνία. 8. ἐάν ἐν Ὑδροχόῳ οὔσης αὐτῆς ἡ ἐπιτολὴ γένηται, βασιλέως λύσις, σίτου φθορὰ καὶ ἀκρίδων ἔφοδος καὶ σπάνις ὄμβρων καὶ λοιμοί. 9. ἐν Ἰχθύσιν οὔσης αὐτῆς ἐὰν γένηται ἡ ἐπιτολή, πολυομβρία ἔσται καὶ τῶν πτηνῶν φθορὰ καὶ οἴνου καὶ σίτου εὐφορία, νόσος δὲ περὶ τοὺς ἀνθρώπους. 10. ἐὰν δὲ ἐν Κριῷ οὔσης αὐτῆς ἡ ἀνατολὴ γένηται τοῦ Κυνός, τῶν ζῴων τῶν νεμομένων ἔσται πολλὴ φορὰ καὶ πολυομβρία καὶ σίτου ἐλαχίστη φορά · ἐλαίου εὐφορία. 11. ἐὰν δὲ ἐν Ταύρῳ, πολυομβρίαι καὶ χά-

22 φθορά HL et Parisini : φορὰ FM, quos sequitur Beck.

φθορά, οἴνου καὶ ἀκροδρύων εὐφορία. ἐν Σκορπίῳ οὔσης τῆς σελήνης, ἱερῶν θόρυβοι ἔσονται καὶ μέλιτος φθορὰ καὶ λοιμικὴ κατάστασις. ἐν Τοξότῃ οὔσης τῆς σελήνης, εὐετηρία καὶ πολυομβρία καὶ σίτου εὐφορία καὶ εὐφροσύνη. ἐν Αἰγοκέρωτι οὔσης τῆς σελήνης, στρατοπέδων κίνησις καὶ πολυομβρία καὶ σίτου καὶ οἴνου καὶ ἐλαίου πολλὴ φθορὰ καὶ πάντων εὐωνία. ἐν Ὑδροχόῳ οὔσης τῆς σελήνης ἐὰν ἡ ἐπιτολὴ τοῦ Κυνὸς γένηται, βασιλέως λύσις καὶ σίτου φθορὰ καὶ ἀκρίδων ἔφοδος καὶ σπάνις ὄμβρων καὶ λοιμοὶ ἔσονται. ἐὰν ἐν Ἰχθύσιν οὔσης τῆς σελήνης, πολυομβρία ἔσται καὶ τῶν πτηνῶν φθορὰ καὶ σίτου καὶ οἴνου εὐφορία, νόσος δὲ περὶ τοὺς ἀνθρώπους · ἐν Κριῷ οὔσης τῆς σελήνης, τῶν ζῴων τῶν νεμομένων ἐστὶ πολλὴ φθορὰ καὶ πολυομβρίαι *** καὶ χάλαζαι καὶ ἐρυσίβη καὶ τιμωρίαι πολλαί · [ἐν Ταύρῳ οὔσης

12 φθορά. Leg. φορά ut Geop. ? 16 φθορὰν cod. 21 An leg. κτηνῶν ? 26 Lacunam signavimus ; cum verba καὶ σίτου - Ταύρῳ a librario omissa essent, lector inepte addidit vv. 28 sq. ἐν Ταύρῳ... Κριῷ, quae seclusimus. 27 ἐρυσίβην cod.

λαζαι καὶ ἐρυσίβη καὶ τιμωρίαι πολλαί. 12. *ἐὰν δὲ ἐν Διδύμοις, σίτου καὶ οἴνου εὐφορία πολλὴ σφόδρα καὶ παντὸς καρποῦ καὶ βασιλέως ἔκλειψις καὶ ἀνθρώπων φθορὰ καὶ στατροπέδων κίνησις.* 13. *ἐὰν δὲ ἐν Καρκίνῳ, ξηρασίαι καὶ λιμός.*

τῆς σελήνης, ὁμοίως γίνεται τῷ Κριῷ]. ἐν Διδύμοις οὔσης τῆς σελήνης, σίτου καὶ οἴνου πολλὴ φθορὰ

καὶ

στρατοπέδων κίνησις· ἐν Καρκίνῳ οὔσης τῆς σελήνης, ξηρότης ἔσται καὶ λιμός.

(1) *I.e. Ζωροάστρου* : cf. *ibid.*, I, 8, *supra*, fr. O 39. — La méthode employée dans ce chapitre consiste à observer à l'aube du 20 juillet la position de la lune dans le zodiaque. Les présages dépendent du signe où elle se trouve et ils sont énumérés pour chacun des douze signes. La même méthode est suivie dans un extrait publié par Boll (*Cat. astr.*, VII, p. 183 ss.), que son contenu prouve avoir été rédigé en Syrie, et dans un chapitre d'Apomasar, où celui-ci l'attribue aux Harraniens (*Cat. astr.*, IV, p. 124, cf. l'Introd., p. 142), ce qui nous indique dans quelle région a été rédigé ce morceau du Pseudo-Zoroastre. Seulement, chez celui-ci le premier signe nommé n'est pas, comme ailleurs, le Bélier, mais le Lion (Juillet), et le dernier le Cancer (Juin), c'est à dire que ce chapitre des *Geoponica* a conservé plus fidèlement que les autres textes la succession des mois de l'année caniculaire, dont le lever de Sirius marquait le début. — Sur l'habitude de tirer des pronostics de l'état du ciel le 19 ou 20 juillet, cf. l'Introduction, p. 123 ss.

(2) *Εἰκάδος* est la vraie leçon, non *εἰκοστή*. C'est le terme propre pour le vingtième jour du mois, et l'on a continué très tard à l'employer en Orient. Cf. p. ex. nos *Fouilles de Doura*, p. 306, l. 14 ss.

(3) Noter l'emploi caractéristique du mot *οἶκος* qui ne désigne pas, au sens habituel de l'astrologie, le « domicile » des planètes, mais simplement le signe du zodiaque conçu comme la demeure transitoire des astres errants. Le même terme est employé plus bas, p. 183, fr. O 42, l. 5 (*εἰς δώδεκα οἴκους*) ; cf. fr. O 44, l. 1, ainsi que le fr. 8 d'Ostanès, *infra*, p. 272, note 4 [Cosmas] : *διεῖλον εἰς οἴκους*.

(4) Le compilateur du *Synt. Laur.* a mis en tête la Balance (*ἐν Ζυγῷ οὔσης.....*, l. 26 ss.) pour faire coïncider le premier pronostic avec le début de l'année byzantine, qui commence le 1er octobre. L'extrait se termine donc par la Vierge (*Des... τετραπόδων ἀπώλεια*). Nous avons rétabli l'ordre primitif, pour qu'on pût confronter facilement les deux textes.

O 41. *Geop.*, I, 10. Σημείωσις τῶν ἀποτελουμένων ἐκ τῆς πρώτης βροντῆς καθ' ἕκαστον ἔτος μετὰ τὴν τοῦ Κυνὸς ἐπιτολήν. Ζωροάστρου.

1. Ἐκείνην χρὴ πρώτην βροντὴν ἡγεῖσθαι καθ' ἕκαστον ἐνιαυτὸν τὴν μετὰ τὴν ἀνατολὴν τοῦ Κυνὸς γινομένην· δεῖ οὖν παρατηρεῖσθαι ἐν ποίῳ οἴκῳ τοῦ ζῳδιακοῦ κύκλου τῆς σελήνης οὔσης ἡ βροντὴ ἡ πρώτη γίνεται. 2. ἐὰν ἐν Κριῷ τῆς σελήνης οὔσης ἡ βροντὴ ἡ πρώτη γένηται, σημαίνει πτοηθῆναί τινας κατὰ τὴν χώραν καὶ γενέσθαι ἀγωνίαν καὶ φυγὴν ἀνθρώπων, ὕστερον δὲ κατάστασιν. 3. ἐν Ταύρῳ τῆς σελήνης οὔσης ἐὰν βροντήσῃ, φθορὰν σίτου καὶ κριθῆς σημαίνει καὶ ἀκρίδων ἔφοδον, ἐν δὲ βασιλικῇ αὐλῇ χαράν, τοῖς δὲ πρὸς ἀνατολὰς θλίψιν καὶ λιμόν. 4. ἐν Διδύμοις ἐὰν βροντήσῃ, ταραχὴν καὶ νόσον δηλοῖ, καὶ σίτου φθορὰν καὶ Ἀράβων ἀπώλειαν. 5. ἐν Καρκίνῳ, κριθῆς φθορὰν καὶ ἀνομβρίαν καὶ βοῶν θάνατον· περὶ δὲ Μάρτιον καὶ Ἀπρίλιον πολυομβρίαν. 6. ἐν Λέοντι, σίτου καὶ κριθῆς φθορὰν ἐν τῇ ὀρεινῇ, καὶ κνησμοὺς καὶ λειχῆνας. 7. ἐν Παρθένῳ, βασιλέως ἀπώλειαν καὶ ἄλλον βασιλεύειν τῆς χώρας· τοῖς ναυτιλλομένοις κίνδυνον, περὶ δὲ τὰ σπόριμα ἐρυσίβην. 8. ἐν Ζυγῷ, πολέμους καὶ πηγῶν (1) πλησμονὰς καὶ καρπῶν φθοράν. 9. ἐν Σκορπίῳ, λιμὸς ἔσται, τὰ δὲ πετεινὰ πληθυνθήσονται. 10. ἐν Τοξότῃ, σάλον ἐν τῇ χώρᾳ, ἐν τῇ ὀρεινῇ σίτου εὐφορίαν, ἐν τῇ πεδιάδι φθοράν. 11. ἐν Αἰγοκέρωτι, ὄμβρον ἔσεσθαι σημαίνει ἐπὶ ἡμέρας πεντήκοντα καὶ βασιλέων δόλον καὶ ψόγον καὶ ἀπρεπῆ λαλιὰν καὶ ἐπιφάνειαν ἄλλου βασιλέως ἀπ' ἀνατολῆς, ὃς ἐπικρατήσει πάσης τῆς οἰκουμένης (2). εὐκαρπία δὲ ἔσται καὶ ἐνδόξων ἀνδρῶν θάνατος καὶ προβάτων γονή. 12. ἐν Ὑδροχόῳ, πολέμους ἰσχυροὺς ἐν τῇ παράλῳ· καρπῶν δὲ τῶν ἄλλων φθοράν, ὀσπρίων δὲ ἀπώλειαν. 13. ἐν Ἰχθύσι, σίτου φθορὰν ὀλίγην καὶ θάνατον ἀνδρὸς δυνατοῦ.

Praeter codices Beckhii contulimus *Parisinos* 2313, s. XIII-XIV, f. 44, et 2506, s. XIV, f. 166, ubi titulus differt (cf. *Cat. codd. astr.*, VIII, 1, p. 110). 8 ἡ βροντὴ ἡ πρώτη] ἡ et ἡ πρώτη om. Laurentiani et Parisini 16 Post θάνατον add. κακοσῆς λαοῦ εστέ (i.e. κάκωσις λαοῦ ἔσται) ex corr. manu rec. L 19 ἄλλος βασιλεύσει Par. 2506 21 πληγῶν codd., correximus 30 φθοράν] leg. φοράν?

(1) La correction πηγῶν pour πληγῶν paraît s'imposer ; cf. p. ex.

Cat. astrol., VII, p. 183, 8 : *Αἱ πηγαὶ καὶ οἱ ποταμοὶ πλημμυρήσουσι.* Cette indication prouve que le morceau a été écrit, non en Égypte, où les sources font défaut, mais en Syrie, ce qui s'accorde avec la mention des Arabes, à la l. 15. Aux ll. 16-17, les noms des mois romains remplacent ceux du calendrier macédonien.

(2) Ce roi venu de l'Orient et qui dominera la terre, est un personnage connu de l'apocalyptique mazdéenne. Cf. Windisch, *Die Orakel des Hystaspes*, 1929, p. 52 ; *Revue hist. des religions*, CIII, 1931, p. 72, et *infra*, p. 370, Hystaspe, fr. 15 s. — Pour l'universalité de ce royaume, cf. *L'Égypte des astrologues*, 1937, p. 27 s.

O 42. *Geop.*, I, 12. *Δωδεκαετηρὶς τοῦ Διός, καὶ ὅσα ἀποτελεῖ περιπολεύων τοὺς δώδεκα οἴκους τοῦ ζωδιακοῦ κύκλου. Ζωροάστρου* (1).

1. *Ὁ ζωδιακὸς κύκλος τέτμηται εἰς δώδεκα οἴκους* (2) · *ἐαρινοὺς μὲν τρεῖς, Κριόν, Ταῦρον, Διδύμους, εἰς δὲ θερινοὺς οἴκους τρεῖς, Καρκίνον, Λέοντα, Παρθένον, εἰς δὲ φθινοπωρινοὺς τρεῖς, Ζυγόν, Σκορπίον, Τοξότην · Αἰγοκέρωτα δὲ καὶ Ὑδροχόον καὶ Ἰχθύας χειμερινούς.* 2. *ἐν ἑκάστῳ οὖν οἴκῳ* <*ὁ*> *τοῦ Διὸς ἀστὴρ γινόμενος ἀποτελεῖ τὰ ὑπογεγραμμένα.*

3. *Ἐπὰν ἐπιστῇ τῷ Κριῷ ὁ τοῦ Διὸς ἀστήρ, οἴκῳ ὄντι Ἄρεος, ὅλον μὲν ἔσται βόρειον τὸ ἔτος, ἐπικοινωνοῦν καὶ τῷ εὔρῳ ἀνέμῳ* (3), *ὁ δὲ χειμὼν κατεψυγμένος καὶ χιονώδης, ὄμβροι δὲ ἔσονται συνεχεῖς καὶ ποταμοὶ μεγάλοι.* 4. *μετὰ δὲ τὴν ἐαρινὴν ἰσημερίαν μεταβαλεῖ ὁ ἀὴρ εἰς ὕδατα μαλακὰ καὶ πυκνά. τὸ δὲ θέρος εὔκρατον ἔσται καὶ ὑγιεινόν, τὸ φθινόπωρον καυματῶδες. ἔσονται δὲ ἐν αὐτῷ νοσήματα καὶ μάλιστα ἀπὸ κεφαλῆς καὶ κατάρροι καὶ βῆχες. τῶν δὲ τόπων τὰ πεδινὰ μᾶλλον οἴσει καρπόν · εὔχεσθαι δὲ δεῖ, ἵνα μὴ πόλεμοι γένωνται* (4). 5... 6. *ἀσφαλίζεσθαι δὲ δεῖ τὸν σῖτον ἐν ταῖς ἅλωσι διὰ τοὺς ὄμβρους · γενέσθαι δὲ ὀρνέων σπάνιν, καλὸν δὲ καὶ κήπους κατασκευάζειν.*

7. *Ὅτε δὲ ἐν Ταύρῳ γένηται ἐν οἴκῳ τῆς Ἀφροδίτης, ὁ χειμὼν ἀρχόμενος μὲν εὔκρατος ἔσται καὶ ἔπομβρος, μεσάζων δὲ νιφετώδης, καὶ λήγων ψυχρός.* 8. *μάλιστα δ' εἰ χειμάσει ἀπὸ μέσου χει-*

9 *ὁ* supplevimus 12 *ἐπικλωνοῦν* (pro *ἐπικλονοῦν*) Paris. 2313 14-15 *μεταβάλλει* codd., correximus 18 cf. *infra*, p. 184,4. 19 sq. Haec sunt Zoroastri, non Democriti, qui antea § 5 laudatur, cf. § 31, p. 185, v. 31 : *δεῖ ἀσφαλίζεσθαι κ.τ.λ.* et § 10, p. 184, v. 6 : *ὀρνίθων σπάνις.*

μῶνος ἕως ἰσημερίας ἐαρινῆς, τὸ ἔαρ εὔκρατον ἔσται καὶ κάθυγρον ἕως <τῆς> Κυνὸς ἐπιτολῆς (5). 9. τὸ θέρος καυματῶδες, τὸ φθινόπωρον παγῶδες καὶ ἐπίνοσον, μάλιστα τοῖς νέοις· ἔσονται δὲ ὀφθαλμίαι. 10. οἱ πεδινοὶ τόποι μᾶλλον τῶν ὀρεινῶν εὐφορήσουσιν, ὁ οἶνος ἀδικηθήσεται, διὸ χρὴ τὴν ἄμπελον ὀψὲ τρυγᾶν. ἔσται δὲ καὶ τῶν καρπῶν τῶν ξυλικῶν εὐφορία, ὀρνίθων σπάνις. τοῖς δὲ πλέουσι τὸ ἔτος ἀνεπιτήδειον. ἐν τούτῳ τῷ ἔτει περιλαμπὴς ἀνὴρ τελευτήσει. 11. ... Εὔχεσθαι δὲ δεῖ μὴ γενέσθαι σεισμοὺς καὶ στρατείας κίνησιν.

12. Ὅτε δὲ ἐν Διδύμοις ἐν οἴκῳ Ἑρμοῦ ὁ Ζεὺς γένηται, τὸ ὅλον ἔτος ἕξει πνεῦμα νότιον καὶ λιβυκόν. 13. ὁ δὲ χειμὼν ἀρχόμενος μὲν ἔσται ἀνεμώδης, εὔκρατος δὲ μεσάζων, καὶ λήγων παγώδης καὶ ἀνεμώδης. 14. τὸ ἔαρ εὔκρατον καὶ λεπτὰ ἔχον ὕδατα· ἔσται δὲ σῖτος πολύς. 15. τὸ θέρος εὔκρατον διὰ τὸ τοὺς ἐτησίας ἀνέμους λαμπροὺς ἐπιπνεῦσαι ἐπὶ πολὺν χρόνον. ἐν δὲ ταῖς ἅλωσιν οἱ καρποὶ διαψεύσονται, μάλιστα δὲ ἐν Συρίᾳ. 16. ἔσται δὲ περὶ τὸ φθινόπωρον νόσος, καὶ μάλιστα τοῖς νέοις καὶ μεσήλιξι καὶ γυναιξίν. ἔσονται δὲ καὶ ὀφθαλμίαι τοῦ φθινοπώρου καυματώδους ὄντος. ἔσται καὶ γυναικῶν θάνατος. τῶν ξυλικῶν ὁ καρπὸς εὐφορήσει. λείψουσι δὲ καὶ αἱ πηγαὶ τῶν ὑδάτων. ἄμεινον δὲ καρποὺς ἀποθέσθαι διὰ τὴν ἐν τῷ ἐρχομένῳ ἔτει ἐσομένην ἀφορίαν. 17... Εὔχεσθαι δὲ δεῖ, ἵνα μὴ λοιμικὰ πάθη γένηται.

18. Ἐν οἴκῳ δὲ Σελήνης Καρκίνῳ γενομένου τοῦ Διός, ὁ χειμὼν τὰ πλεῖστα ἀπὸ τῶν ἀνατολικῶν ἔσται ψυχρός τε καὶ χαλαζώδης καὶ γνοφώδης, ἔχων καὶ ποταμοὺς μεγάλους. περὶ δὲ τροπὰς χειμερινὰς ἀνοχὴ ὑδάτων ἔσται. μετὰ δὲ τὴν ἐαρινὴν ἰσημερίαν, συνεχεῖς ἔσονται χάλαζαι. οἱ δὲ τραχεῖς τόποι μᾶλλον οἴσουσι καρπόν. ὁ δὲ ἐνιαυτὸς ἔσται ὑγιεινός, πλὴν τοῦ φθινοπώρου. 19... ἡ δὲ ἐλαία εὐφορήσει.

20. Γενομένου δὲ τοῦ Διὸς ἐν Λέοντι τῷ οἴκῳ τοῦ Ἡλίου, ὁ χειμὼν ἔσται ἀρχόμενος μὲν ψυχρὸς καὶ ὑδατώδης μετὰ μεγάλων πνευμάτων, ὡς καὶ δένδρα καταπεσεῖν· μεσάζων δὲ εὔκρατος, καὶ λήγων κατάψυχρος. 21. τὸ ἔαρ ὕπομβρον, τὸ θέρος ἔαρι ὅμοιον· καὶ λείψουσιν ἐν αὐτῷ αἱ πηγαὶ τῶν ὑδάτων, λείψει δὲ καὶ βοσκὴ τοῖς ἀλόγοις. 22. τὸ φθινόπωρον καυματῶδες καὶ ἐπίνοσον ἀπὸ κατάρρου καὶ βηχός· διὸ χρὴ ἄρτῳ ὀλίγῳ χρῆσθαι, οἴνῳ δὲ πλείονι. ὁ σῖτος ἔσται σύμμετρος. ἡ ἄμεπλος καὶ ἡ ἐλαία εὐφορήσει. εὔθετον τὸ ἔτος πρὸς ἐνοφθαλμισμόν, οὐ μὴν πρὸς φυτείαν. τῶν

15 An λαμπρῶς? cf. p. 186, 10

μεγάλων βοσκημάτων ἔσται φθορά, τῶν δὲ ἀγρίων πολυπλήθεια. ἀνὴρ ἐπίσημος τελευτήσει. εὔχεσθαι δὲ δεῖ, ἵνα μὴ γένωνται σεισμοὶ καὶ πόλεμοι.

23. Γενομένου δὲ τοῦ Διὸς ἐν Παρθένῳ ἐν οἴκῳ τοῦ Ἑρμοῦ, ὁ χειμὼν ἀρχόμενος μὲν ἔσται ψυχρός, εὔκρατος δὲ μεσάζων καὶ λήγων χειμεριώδης, πάγους ἔχων πολλοὺς καὶ ὄμβρους καὶ ποταμοὺς μεγάλους, ὡς πολλοὺς θαλασσωθῆναι τόπους. 24. τὸ ἔαρ κάτομβρον καὶ τοῖς δένδρεσι χαλεπόν. λήγοντος δὲ τοῦ ἔαρος χάλαζαι κατὰ τόπους ἔσονται. τὸ θέρος ἔπομβρον καὶ γνοφῶδες. 25. καὶ χρὴ τὴν συγκομιδὴν τῶν σιτικῶν καρπῶν συντόμως γενέσθαι, ἵνα μὴ ὑπ' ὄμβρων φθαρῶσι. 26. τὸ φθινόπωρον ἀνεμῶδες καὶ ὑγιεινόν. ἡ ἄμπελος εὐφορήσει. ἐπιτήδειον τὸ ἔτος πρὸς ἀμπέλων φυτείαν. ὁ σῖτος εὔφθαρτος ἔσται. ὑγιεινὸν ὅλον τὸ ἔτος, μηδεμίαν ἔχον νόσον. εὔχεσθαι δὲ δεῖ περὶ τῶν καρπῶν.

27. Ἐν δὲ τῷ οἴκῳ τῆς Ἀφροδίτης <τῷ Ζυγῷ> γενομένου τοῦ Διός, ὁ χειμὼν ἀρχόμενος μὲν ἔσται ὑδατώδης, εὔκρατος <μεσάζων> καὶ ἀνεμώδης, λήγων δὲ κάθυγρος καὶ παχνώδης. τὸ ἔαρ εὔκρατον, ἔχον ἀσθενήματα ἀπὸ κεφαλῆς. τοῦ δὲ θέρους ἡ ἀρχὴ ἔαρι ἔσται ὁμοία. ταῖς ἐγκύοις γυναιξὶν ἐπικίνδυνον ἔσται τὸ ἔτος...

29. Ὅτε δὲ ἐν οἴκῳ Ἄρεως τῷ Σκορπίῳ γένηται ὁ Ζεύς, ὁ χειμὼν ἀρχόμενος ἔσται μετὰ χαλάζης ψυχρός, μεσάζων δὲ θερμός, λήγων δὲ πραΰς. τὸ ἔαρ ἔσται χειμερινὸν ἕως τροπῶν θερινῶν, ὄμβρων καὶ βροντῶν γινομένων· λείψουσιν αἱ πηγαὶ τῶν ὑδάτων· σῖτος μέσος, ἡ ἄμπελος καὶ ἡ ἐλαία εὐφορήσει, τῶν βοῶν ἔσται φθορά. 30... Εὔχεσθαι δεῖ ἵνα μὴ λοιμικὰ γένηται πάθη.

31. Ὅταν ἐν τῷ ἰδίῳ οἴκῳ ὁ Ζεὺς γένηται τῷ Τοξότῃ, ἕξει χειμῶνα εὔκρατον καὶ ἔνυδρον, οὔτε θερμὸν οὔτε ψυχρόν. οἱ ποταμοὶ μεγάλοι ἔσονται. παυομένου δὲ τοῦ χειμῶνος, ψύχη καὶ ἄνεμοι ἔσονται. τὸ ἔαρ νότιον καὶ ἔπομβρον, τὸ δὲ θέρος εὔκρατον, καὶ μᾶλλον χειμερινόν. δεῖ δὲ ἀσφαλίζεσθαι τὰς ἅλωνας διὰ τοὺς ὄμβρους. τὸ φθινόπωρον ἀσφαλές, διὰ τὸ τοὺς ἐτησίας πνέειν. 32. οἱ πρώϊμοι καρποὶ καὶ οἱ ὄψιμοι ἔσονται καλοί, οἱ δὲ μέσοι φαῦλοι, εὐφορήσει σῖτον καὶ τὰ πεδινὰ καὶ τὰ τραχέα. ὁ οἶνος ἔσται παράμονος ὀψιαίτερον τρυγώμενος. εὐφορήσει πάντα τὰ δένδρα. ἐπιτήδειον τὸ ἔτος πρὸς φυτείαν καὶ πρὸς τὰ ἄλλα πάντα. τῶν

15 τῷ ζυγῷ suppl. editores 16-17 μεσάζων suppl. editores 21 χαλαζῶν Marcianus 22 χειμεριώδης Marcianus 25 cf. p. 186, v. 29

μεγάλων ζῴων πολυπλήθεια, κυνῶν δὲ φθορὰ ἔσται· καὶ θάλασσα χειμέριος καὶ ἄνεμοι μεγάλοι ὄψιμοι. ἀνὴρ δὲ περίβλεπτος τελευτήσει.

33. *Ἐὰν ὁ Ζεὺς ἐν Αἰγοκέρωτι ἐν τῷ οἴκῳ τοῦ Κρόνου γένηται, ὁ χειμὼν ἀρχόμενος μὲν εὔκρατος ἔσται, μεσάζων δὲ κάθυγρος καὶ κατάψυχρος, λήγων δὲ ἀνεμώδης. τὰ δὲ γινόμενα ὕδατα ἔσται καὶ τῷ σπόρῳ καὶ τοῖς ἄλλοις ἔργοις βλαβερά. ἀθρόοι δὲ ἔσονται ἐπιτάσεις ὕδασί τε καὶ ψύξεσι καὶ χιόσι.* 34. *τὸ θέρος πρὸ μὲν <τῆς> ἀνατολῆς τοῦ Κυνὸς φαῦλον, μετὰ δὲ ταῦτα καυσῶδες καὶ ἐπίνοσον. πνεύσουσι δὲ καὶ ἐτησίαι λαμπρῶς, γίνονται καὶ σεισμοί. τὰ δὲ πεδινὰ μᾶλλον οἴσει καρπόν. ὁ οἶνος φθινήσει ὑπὸ πάχνης· τῶν ξυλικῶν καρπῶν εὐθηνία. τοῖς μικροῖς ζῴοις εὔθετον τὸ ἔτος, τοῖς δὲ μεγάλοις ἀσύμφορον, μάλιστα δὲ βουσί. τῷ δὲ φθινοπώρῳ ἔσται νοσήματα ἀπὸ κεφαλαλγίας καὶ ὀφθαλμίας καὶ κνησμονῆς. εὔχεσθαι δὲ δεῖ, ἵνα μὴ οἱ καρποὶ ὑπὸ πάγων καὶ ἀνέμων βλαβῶσιν.*

35. *Ἡνίκα ὁ Ζεὺς ἐν τῷ Ὑδροχόῳ γένηται τῷ οἴκῳ τοῦ Κρόνου, ἄνεμοι ἔσονται πολλοὶ σύμφοροι τῷ σιτικῷ καρπῷ, καὶ μάλιστα τῷ ξυλικῷ.* 36. *ἔσται δὲ ὁ χειμὼν ἀρχόμενος μὲν κατάψυχρος, λήγων δὲ ἀνεμώδης. τὸ ἔαρ ἔνυδρον καὶ μᾶλλον χειμερινὸν καὶ παχνῶδες. τὸ δὲ θέρος ἔμπνουν διὰ τὸ σφοδρὸν τῶν ἐτησίων ἀνέμων. ἔσονται δὲ καὶ ὄμβροι ἐν τῷ θέρει, ὥστε καὶ ἐπικλυσθῆναι τὸν Δημητριακὸν καρπὸν ἐκ μέρους. τῷ φθινοπώρῳ γίνεται πνεύματα ὑδατώδη καὶ τοῖς καρποῖς βλαβερά.* 37. *ἔσονται δὲ καὶ πάθη ὀξέα ἐξ ὑγρᾶς αἰτίας τοῖς νέοις καὶ τοῖς μεσήλιξιν. ἔσται δὲ πάχνη καὶ βλάψει τὰς σταφυλὰς ἐν πολλοῖς τόποις. τὰ δὲ σπόριμα ἔσται κάλλιστα, καὶ τὰ πρώϊμα καὶ τὰ ὄψιμα. ἔσται δὲ ὀρνέων φθορά, καὶ θηρίων ἀγρίων. ἔσται καὶ ναυάγια πλεῖστα. ἀνὴρ δὲ πάνυ ἐπίσημος τελευτήσει. εὔχεσθαι δὲ δεῖ ἵνα μὴ γένηται λοιμικὰ πάθη, καὶ σεισμοὶ καὶ κεραυνοί.*

38. *Τοῦ Διὸς ἐν τοῖς Ἰχθύσιν ἐν τῷ οἴκῳ τῷ ἰδίῳ γενομένου, ὁ χειμὼν ἀρχόμενος μὲν ὑδατώδης, μεσάζων δὲ ἀνεμώδης,*

2 *μεγάλοι καὶ ὄψιμοι* Marcianus 4 *Κρόνου* editores ; *Κριοῦ* codd. 9 *τῆς* suppl. 20 Deesse videtur *μεσάζων*... 21 *εὔπνουν* Laurentianus ; sed cf. *Cat. astr.*, V, 1, p. 178, 13 ss. 23 *καρπὸν* omis. Harleianus, sed in Dodecaeteribus alibi quoque *Δημητριακὸς καρπός* et *Δοινυσιακὸς καρπός* memorantur (*Cat. astr.* II, p. 145,24 ; V, 1, p. 173, 12 ; 174, 8 ; VIII, 1, p. 268, 2 ; 270, 27) 30 *λοιμικὸν πάθος* Marcianus, sed cf. supra p. 185, 25 32 *ἀρχόμενος* scripsimus : *ἄρχεται* codd.

καὶ λήγων χαλαζώδης καὶ χιονώδης. ἐν τῷ ἔαρι πνέουσιν ἄνεμοι ζέφυροι λαμπροί. τὸ δὲ θέρος ἔσται καυματῶδες, τὸ φθινόπωρον πυρῶδες, μάλιστα γυναιξὶ καὶ παρθένοις. 39. *ἐπιπνέουσι δὲ καὶ πνεύματα μοχθηρά, ὥστε τὸν ξυλικὸν καρπὸν ἐπικαυθῆναι. οἱ σπόροι ἔσονται καλοί. τὰς ἅλωνας ἀσφαλίζεσθαι χρὴ διὰ τοὺς ὄμβρους · ταῖς ἐγκύοις γυναιξὶν ἐπικίνδυνον τὸ ἔτος.* 40. ... *εὔχεσθαι δὲ δεῖ μὴ γενέσθαι σεισμούς.*

3 *πυρῶδες* <*καὶ ἐπίνοσον*> Boll, *Cat. astr.* II, 178, 26

(1) Ce chapitre offre des ressemblances souvent littérales avec les Dodecaétérides chaldaïques publiées par Boll, *Cat. codd. astr.*, II, p. 145 ss., V, I, p. 173 ss., et par Boudreaux, *Cat.* VIII, 3, p. 189, qui ont noté les passages parallèles à ceux des *Geoponica*. Cf. aussi *Cod. Vindob.* 108, f. 237 (*Cat. codd. astr.*, VI, p. 8). Ces morceaux semblent être tous des résumés ou remaniements d'un original qui faisait peut-être partie du *Περὶ φύσεως* de Zoroastre, mais il serait imprudent de rien affirmer, tant que la filiation des dodécaétérides, qui nous sont parvenues en assez grand nombre, n'aura pas été éclaircie. Cf. l'Introduction, p. 122.— L'auteur des *Geoponica* a intercalé dans le texte du Pseudo-Zoroastre aux signes du Bélier (§ 5), du Taureau (§ 11), des Gémeaux (§ 17), du Cancer (§ 19), de la Balance (§ 28), du Scorpion (§ 29), des Poissons (§ 40), de courts pronostics empruntés à une dodecaétéride attribuée à Démocrite, c'est-à-dire probablement d'après Bolos de Mendès (Introd., p. 118). Nous en avons indiqué la place par quelques points. Ces présages démocritéens ont été omis, peut-être par la négligence d'un copiste, aux signes du Lion, de la Vierge, du Sagittaire, du Capricorne et du Verseau.

(2) Sur les *οἶκοι*, cf. *supra*, fr. O 41, p. 181, note 3.

(3) Vent cosmiques ; cf. *supra*, p. 161, et l'Introd., p. 123, n. 1.

(4) Le texte doit avoir été christianisé ici et dans les phrases analogues qui terminaient chaque paragraphe. Zoroastre devait indiquer quel dieu il fallait prier (cf. l'Introd., p. 127). C'était apparemment celui qu'on mettait en relation avec chacun des signes du zodiaque ; cf. Saglio-Pottier, *Dict.*, *s.v.* « Zodiacus », p. 1056. Cette prescription d'une prière en vue d'obtenir un résultat déterminé s'est conservée aux §§ 4, 11, 17, 22, 26, 30, 34, 37 et 40. Elle a été omise au Cancer, à la Balance et au Sagittaire. Elle provient du Pseudo-Zoroastre, non de Démocrite, car elle se trouve même aux endroits où celui-ci n'est pas cité.

(5) Sur l'importance attribuée par le Pseudo-Zoroastre au lever de la Canicule, ici et § 34, cf. l'Introd., p. 123.

O 43. *Geop.*, II, 15. *Προγνωστικόν, ὥστε εἰδέναι ποῖα τῶν σπειρομένων γενήσονται εὐθαλῆ. Ζωροάστρου.*

1. *Τινὲς οὖν τὰ μέλλοντα εὐθαλῆ γίνεσθαι οὕτω προμανθάνουσι· πρὸ ὀλίγων ἡμερῶν τῆς ἐπιτολῆς τοῦ Κυνὸς ἔν τινι τόπῳ ἀπὸ ἑκάστου σπέρματος πρὸς ὀλίγον μέρος δοκιμασίας ἕνεκεν σπείρουσιν.* 2. *ὅταν οὖν ἐπιτέλλῃ ὁ Κύων, τινὰ μὲν τῶν σπαρέντων, ὡς εἰκός, βλάπτει, τινὰ δὲ οὐδαμῶς. τοῦτο οὖν σημεῖον ποιούμενοι, τὰ ἀβλαβῆ μείναντα ἐν τῇ ἐπιτολῇ σπείρουσι, παραλιμπάνουσι δὲ τὰ ἐπικαυθέντα.* 3. *ἔστι δὲ ἡ ἐπιτολὴ τοῦ Κυνὸς τῇ ιθʹ τοῦ Ἰουλίου μηνός. δεῖ οὖν πρὸ κʹ ἢ λʹ ἡμερῶν τὰ δοκιμασίας ἕνεκα σπαρέντα ἄρδειν εἰς τὸ φῦναι ταῦτα* (1).

10 *ἐπικαυθέντα*] var. *ἐπικαμφθέντα, ἐπικαθέντα.*

(1) Comparer la coutume signalée par Albîrounî (*Chronology of Nations*, trad. Sachau, p. 260) dans son chapitre sur le calendrier des Grecs : *Practical observers prescribe the following. Take a plate some time before the dog-days, sow upon it all sorts of seeds and plants and let it stand until the 25th night of Tammuz, i. e. the last night of the dog-days ; then put the plate somewhere outside at the time when the stars rise and set and expose it uncovered to the open air. All seeds then that will grow in the year, will be yellow in the morning and all whose growth not will be prosper, will remain green. This experiment the Egyptians used to make.* L'usage que connaît l'historien arabe est une survivance des Adonies syriennes, qui se célébraient au début de l'année sothiaque (19 juillet) et où l'on avait coutume de semer les célèbres « *κῆποι Ἀδώνιδος* » ; cf. *Syria*, t. XVI, 1935, p. 118 ss., et l'Introd., p. 126. — Cf. aussi le *Προγνωστικὸν περὶ χειμῶνος* publié *Cat. astr.*, VIII, 3, p. 166 : *Λάβε φύλλα συκῆς τῇ ὀκτωκαιδεκάτῃ τοῦ Ἰουλίου μηνὸς καὶ γράψον εἰς αὐτὰ τῶν ιβʹ μηνῶν τὰ ὀνόματα καὶ θές τα ἐν τόπῳ ὑπαίθρῳ διόλου τῆς νυκτὸς καὶ τὸ πρωῒ σκόπησον καὶ <εἰς> οἷον φύλλον εὑρήσεις νοτίδα, ἔσται χειμὼν κατ' ἐκεῖνον τὸν μῆνα.* — Le troisième paragraphe du chapitre des *Geoponica* est probablement une addition de leur rédacteur ; le chiffre de vingt ou trente jours est en contradiction avec la ligne 5, *πρὸ ὀλίγων ἡμερῶν*, que confirme la pratique païenne : les « Jardins d'Adonis » levaient rapidement et se flétrissaient aussitôt.

O 44. *Geop.*, V, 46. *Ἐν ποίῳ οἴκῳ*(1) *οὔσης τῆς σελήνης χρὴ τρυγᾶν, καὶ ὅτι ληγούσης αὐτῆς καὶ ὑπογείου οὔσης τὸν τρυγητὸν δεῖ ποιεῖν. Ζωροάστρου.*

Δεῖ τρυγᾶν τῆς σελήνης οὔσης ἐν σαρκίνῳ ἢ Λέοντι ἢ Ζυγῷ ἢ Σκορπίῳ ἢ Αἰγοκέρωτι ἢ Ὑδροχόῳ. σπουδάζειν δὲ χρὴ ληγούσης αὐτῆς καὶ ὑπογείου οὔσης τὸν τρυγητὸν ποιεῖσθαι.

4 *Ζωροάστρου* post titulum L : om. MH

(1) Sur le sens de *οἶκος*, cf. *supra*, fr. O 40, p. 181, note 3.

O 45. *Geop.*, VII, 5. *Περὶ ἀνοίξεως πίθων καὶ τί χρὴ παραφυλάττεσθαι τῷ καιρῷ τῆς τούτων ἀνοίξεως. Ζωροάστρου.*

1. *Χρὴ ἀνοίγειν τοὺς πίθους παραφυλαττομένους τὴν τῶν ἄστρων ἐπιτολήν· τότε γὰρ κίνησις γίνεται τοῦ οἴνου, καὶ οὐ χρὴ τὸν οἶνον ψηλαφᾶν.* 2. *καὶ εἰ μὲν ἐν ἡμέρᾳ τὸν πίθον ἀνοίγεις, χρὴ ἐπισκοτεῖν τῷ ἡλίῳ, ἵνα μὴ ἡ τούτου αὐγὴ ἐμπίπτῃ τῷ οἴνῳ.* 3. *εἰ δὲ ἐν νυκτί, τῆς χρείας πολλάκις καλούσης, ἀνοίγειν μέλλεις τὸν πίθον, ἐπισκοτεῖν χρὴ τῷ φωτὶ τῆς σελήνης.*

3 *Ζωροάστρου* post titulum M : om. P : *ζωρο* in marg. L 6 et 9 *ἐπισκοτεῖν* Cornarius : *ἐπισκοπεῖν* codd. 7 *τὸν ἥλιον* LM 9 *τὸ φῶς* L

O 46. *Geop.*, VII, 6. *Περὶ μεταγγισμοῦ οἴνου, καὶ πότε χρὴ μεταντλεῖν τοὺς οἴνους, καὶ ὅτι διαφορὰν ἔχει ὁ ἐν τῷ αὐτῷ πίθῳ ἐμβεβλημένος οἶνος. Τοῦ αὐτοῦ* (i. e. *Ζωροάστρου*).

1. *Χρὴ τοὺς οἴνους μεταγγίζειν ἐν τοῖς βορείοις ἀνέμοις, οὐδα-*

4 *τοῦ αὐτοῦ* post titulum LM : om. CH

μῶς δὲ ἐν τοῖς νοτίοις · καὶ τοὺς μὲν ἀσθενεστέρους τῷ ἔαρι, τοὺς δὲ ἰσχυροτέρους ἐν τῷ θέρει, τοὺς δὲ ἐν αὐχμηροῖς τόποις μετὰ τροπὰς χειμερινάς. μεταγγιζόμενος δὲ ὁ οἶνος ἐν πανσελήνῳ, ὄξος γίνεται. 2. *εἰδέναι δὲ χρὴ ὅτι οἶνος χωριζόμενος τῆς τρεφούσης αὐτὸν τρυγός, λεπτομερέστερος καὶ ἀσθενέστερος γίνεται.* 3. *προνοητέον οὖν, ἵνα χειμῶνος μὲν θερμαίνηται, θέρους δὲ ψύχηται.* 4. *δεῖ δὲ μεταγγίζειν, τῆς σελήνης αὐξομένης καὶ ὑπὸ γῆν οὔσης.* 5... 6. *χρὴ δέ, ἡνίκα ἀπὸ τῶν πίθων εἰς μικρὰ ἀγγεῖα μεταβάλλομεν τὸν οἶνον, φυλάττεσθαι τὰς ἐπιτολὰς τῶν ἀστέρων · κινεῖται γὰρ ἡ τρὺξ ἐν ταῖς ἐπιτολαῖς καὶ μάλιστα ἐν τῷ ἄνθει τῶν ῥόδων, ἔτι δὲ καὶ βλαστανούσης τῆς ἀμπέλου* (1).

7 *αὐξομένης* editores : *αὐξουμένης* codd.

(1) Après la citation de Sotion intercalée au § 5, l'extrait du Ps.-Zoroastre paraît se poursuivre au § 6. La suite, § 7 ss., est tirée d'Hésiode.

O **47**. *Geop.*, VII, 11. *Ὥ σ τ ε ὑ π ὸ β ρ ο ν τ ῶ ν κ α ὶ ἀ σ τ ρ α π ῶ ν ἡ μ τ ρ έ π ε σ θ α ι τ ο ὺ ς ο ἴ ν ο υ ς. Ζ ω ρ ο ά σ τ ρ ο υ.*

Σίδηρος τοῖς πώμασι τῶν πίθων ἐπιτιθέμενος ἀπερύκει τὴν ἀπὸ τῶν βροντῶν καὶ ἀστραπῶν βλάβην (1) · *ἔνιοι δὲ δάφνης κλάδους ἐπιτιθέασι κατὰ ἀντιπάθειαν* (2).

2 *κε. μα. ζωρ.* in mg. L : *ζωροάστρου* post titulum PM. : tit. et *ζωρ.* om. P

(1) Le fer, dont on forge les armes (cf. *τὰς ἀκμὰς τῶν σιδηρίων* chez Psellus, *Catal. man. alchim.*, t. VI, 1928, p. 131, 4 s.) et spécialement l'épée (*ibid.*, index, p. 240, *s.v.* *ξίφος*), écarte les coups de la foudre. D'une façon générale, il sert de talisman contre les puissances du mal. Frazer (*Golden Bough* [2], t. I, p. 348 ss. = *Taboo*, p. 232) a réuni de nombreux exemples de son usage magique. Pour l'antiquité, il suffirait de renvoyer à Pline, XXXIV, 151. Mais un passage des *Geoponica* mêmes est surtout à rapprocher du nôtre, parce qu'il réunit le fer au laurier, comme protecteurs de la fou-

dre (XIV, 11, 5, *Λεοντίνου*) : *Σιδήρου ἔλασμά τι ἐντιθέασιν ἢ κεφαλὰς ἥλων καὶ δάφνης κλωνία ταῖς νεοττίαις· δοκεῖ γὰρ ἀλεξιφάρμακον εἶναι πρὸς τὰς διοσημείας.*

(2) Le laurier passait pour chasser les démons (cf. *Geopon.*, XI, 2, 5-7 = Lydus, *De Mensib.*, IV, 4, p. 68 Wünsch ; cf. Proclus, *Catal, man. alchim.*, t. VI, 1928, p. 151, 7), mais son pouvoir apotropaïque s'exerçait surtout contre la foudre (cf. note 1). Il était, disait-on, la seule plante qui ne fût pas frappée par celle-ci (Pline, II, 146, etc ; cf. *Realenc.*, s. v. « Lorbeer », col. 1440, 56 ss.). Parmi les passages qui signalent cette propriété, il en est un en particulier qui explique l'*antipathie* dont parle le Pseudo-Zoroastre : Pline, *N. H.*, XV, 30, 134 s. : « (Laurus) manu satarum receptarumque in domos fulmine sola non icitur.... laurus manifesto abdicat ignes crepitu et quadam detestatione (= *ἀντιπάθεια*), interaneorum etiam vitia et nervorum ligno torquente. Tiberium principem tonante caelo coronari ea solitum ferunt contra fulminum metus (cf. Suétone, *Tib.*, 69).

O 48. *Geop.*, X, 83. *Δένδρον ἄκαρπον καρποφορεῖν. Ζωροάστρου.*

1. *Συζωσάμενος καὶ ἀνακομβωσάμενος καὶ λαβὼν πέλεκυν ἢ ἀξίνην, μετὰ θυμοῦ πρόσελθε τῷ δένδρῳ ἐκκόψαι τοῦτο βουλόμενος.* 2. *προσελθόντος δέ σοί τινος καὶ παραιτουμένου τὴν τούτου ἀποκοπήν, ὡς ἐγγυητοῦ περὶ τοῦ μέλλοντος καρποῦ γινομένου, δόξον πείθεσθαι καὶ φείδεσθαι τοῦ δένδρου καὶ εὐφορήσει τοῦ λοιποῦ.* 3. *καὶ ἄχυρα δὲ κυάμινα παραβαλλόμενα τῷ στελέχει ποιεῖ τὸ δένδρον καρποφορεῖν.*

2 *ζωρ.* post titulum M *ζορ.* marg. L 3 *ζωσάμενος καὶ ἀνακολπωσάμενος* L. 6 *περὶ* L : *τε* FM *γινομένου* om. FM

O 49. *Geop.*, XI, 18. *Περὶ ῥόδων.*

§ 11. *Ζωροάστρης δὲ λέγει ἐπὶ ἐνιαυτὸν ἕνα μὴ ἀλγεῖν τοὺς ὀφθαλμοὺς τὸν ἐν πρώτοις ἰδόντα ἐπὶ τοῦ φυτοῦ μεμυκυίας κάλυκας καὶ τρισὶν ἐξ αὐτῶν ἀπομαξάμενον τὰ ὄμματα καὶ ἐπὶ τοῦ φυτοῦ τὰ ῥόδα καταλιπόντα.*

Cf. Pline, XXIII, 59, § 110 : « Primus pomi huius (*scil.* mali punici) partus florere incipientis cytinus vocatur a Graecis .... si quis unum ex his, solutus vinculo omni cinctus et calciatus atque etiam anuli, decerpserit duobus digitis, pollice et quarto sinistrae manus, atque ita lustratis levi tactu oculis in os additum devoraverit, ne dente contingat, adfirmatur nullam oculorum imbecillitatem passurus eodem anno. » Cf. Phérécrate dans Athénée, III, p. 78 D = *Comic. Att. fragm.*, I, p. 184, n° 132 Kock, et A. Delatte, *Herbarius*, 1936, pp. 37 et 109.

O 50. *Geop.*, XIII, 9. *Π ε ρ ὶ σ κ ο ρ π ί ω ν .*

§ 10. *Ζωροάστρης φησί· τῆς θρίδακος τὸ σπέρμα μετὰ οἴνου ποθὲν ἰᾶται τοὺς σκορπιοδήκτους* (1).

2 *ζωροάστρης φησὶ* rubro tit. loco Laurentianus : *ζωροάστρης* omisso, *φασί* Palatinus : *ζωροάστρου* marg. add. Laurentianus, nihil Harleianus.

(1) Pline, *N. H.*, XX, 26, § 62 : « (Lactucae sucus) serpentium ictibus medetur in vino potus » ; Dioscoride, *De Mat. Med.*, II, 136,3 (t. I, 208, 11 éd. Wellmann) : *Ἡ ἀγρία θρίδαξ... (ὁ ὀπὸς) ποτίζεται πρὸς σκορπιοπλήκτους.* — Nous avons vu plus haut [p. 164, fr. O 17] que Zoroastre appelait la laitue sauvage *φέρομβρος*. — Cf. l'Introduction, p. 121.

O 51. *Geop.*, XIII, 16. *Π ε ρ ὶ κ α ν θ α ρ ί δ ω ν . Ζ ω ρ ο ά σ τ ρ ο υ .*

§ 1. *Κανθαρίδες οὐ βλάψουσι τὰς ἀμπέλους, ἐὰν αὐτὰς τὰς κανθαρίδας βρέξας ἐπιχρίσῃς τὴν ἀκόνην, ἐφ' ἧς ἀκονᾶν μέλλεις τὰ δρέπανα* (1). 2. *Ἐὰν δὲ χαλβάνην μετὰ βολβίτων παλαιῶν καύσῃς, ἀποδιώξεις αὐτάς* (2), *καὶ ἀγρίου σικύου τὰς ῥίζας ὁμοίως θυμιῶν ἀπελάσεις αὐτάς* (3).

1 *ζωρ.* post titulum M : om. LP : *ζωρόαστρος* mg. H   4 *βρώξας* L ; tum *ἐλαίῳ* additur V.

(1) Attribué à Africanus *Geop.* V, 49, 1. Cf. Palladius, *Agric.*, I, 35, 3 : « Ne cantharides vitibus noceant, in cote, qua falces acuuntur, ipsae sunt conterendae ».

(2) Cf. Pline, *N. H.*, XIX, 180 : « Hi (culices) galbano accenso fugantur.

(3) La suite du chapitre, où Aristote est cité, ne peut appartenir à Zoroastre.

FRAGMENT DOUTEUX.

O 52. *Geop.*, XV, 1. *Περὶ φυσικῶν συμπαθειῶν καὶ ἀντιπαθειῶν. Ζωροάστρου* (1).

1. *Πολλὰ εὗρεν ἡ φύσις ἀντιπαθοῦντα καὶ συμπαθοῦντα ἀλλήλοις, ὡς ὁ Πλούταρχος ἐν τῷ β' τῶν Συμποσιακῶν* (2) *αὐτοῦ φησιν.* 2. *Ἀναγκαῖον οὖν ἡγησάμην καὶ ἐκ τούτων τὰ παραδοξότερα συντάξαι τῷδέ μου τῷ συγγράμματι· οὐ γὰρ μόνους τοὺς γεωργίας ἐραστὰς ἐκ τῶν ἐμῶν πόνων τὸ χρήσιμον συλλέγειν ἐσπούδακα, ἀλλὰ καὶ τοῖς φιλολόγοις ἁρμοδίαν εἶναι τὴν παρ' ἐμοῦ συγγραφήν.* 3. *Μάνθανε οὖν ὅτι μαινόμενος ἐλέφας πρᾶος γίνεται κριοῦ ὀφθέντος αὐτῷ, καὶ ὅτ φρίττει νέου δέλφακος φωνήν.* 4. *Ἄγριος ταῦρος ἀτρεμεῖ καὶ πραΰνεται συκῇ προσδεθείς.* 5. *Ἵππος ὑπὸ λύκου βρωθεὶς ἀγαθὸς ἔσται καὶ ποδώκης. καὶ τὰ λυκόβρωτα πρόβατα ἥδιον ἔχει τὸ κρέας, τὸ δὲ ἔριον φθειροποιόν. Ταῦτα μὲν Πλουτάρχῳ εἴρηται.*

6. *Πάμφιλος δὲ ἐν τῷ περὶ φυσικῶν φησιν ὅτι λύκων ἴχνη πατήσαντες ἵπποι ναρκῶσι τὰ σκέλη.* 7. *Λύκος σκίλλης θίγων σπᾶται· ὅθεν αἱ ἀλώπεκες τοῖς φωλεοῖς αὐτῶν σκίλλαν παρατίθενται διὰ τοὺς λύκους.* 8. *Ὁ λύκος προορῶν τὸν ἄνθρωπον ἀσθενέστερον αὐτὸν καὶ ἄφωνον ποιεῖ, ὡς ὁ Πλάτων ἐν ταῖς Πολιτείαις αὐτοῦ φησιν* (3)· *ὀφθεὶς δὲ πρότερος ὁ λύκος αὐτὸς ἀσθενέστερος γίνεται.* 9. *Λέων ἐπιβὰς πρίνου πετάλοις ναρκᾷ· φοβεῖται καὶ τὸν ἀλεκτρυόνα καὶ τὸν φθόγγον αὐτοῦ· κἂν ἴδῃ αὐτόν, φεύγει.*

10. *Ὕαινα φυσικῷ τινι λόγῳ τῇ ἀπὸ σελήνης νυκτερινῇ σκιᾷ τοῦ κυνὸς ἐπιβᾶσα, ὥσπερ διὰ σχοίνου ἀπὸ ὕψους κατάγει αὐτόν* (4).

11. *Ὁ δὲ Νέστωρ* (5) *ἐν τῇ πανακείᾳ αὐτοῦ φησιν ὅτι ἡ ὕαιανα ἐπειδὰν θεάσηται ἄνθρωπον ἢ κύνα καθεύδοντα, παρεκτείνει τὸ οἰκεῖον σῶμα τῷ καθεύδοντι· καὶ εἰ μὲν ἑαυτὴν ἴδοι μείζονα τοῦ καθεύδοντος τυγχάνουσαν, παράφρονα φυσικῶς τῷ ἑαυτῆς μήκει ποιεῖ τὸν καθεύδοντα, καὶ κατεσθίει αὐτοῦ τὰς χεῖρας οὐδὲν ἀμυνομένου· εἰ δὲ βραχυτέραν ἑαυτὴν θεάσεται, φεύγει ταχυτάτοις ποσίν.* 12. *Ὑαίνης δέ σοι ἐπιούσης, σπούδαζε μὴ ἀπὸ τοῦ δεξιοῦ μέρους αὐτὴν ἐπιέναι, ἐπεὶ ναρκήσεις, καὶ οὐκ ἂν δύναιο βοηθῆσαι ἑαυτῷ· ἐξ ἀριστεροῦ δὲ μέρους ἐπιούσης θαρρῶν ἐπέρχου. ἀναιρεῖς γὰρ αὐτὴν πάντως* (6). 13. *Εἴ τις*

4 *τῷ β'* Needham : *τῶ ιβ'* codd. 11 *βρωθείς* : *δηχθεὶς* L 13 *φθοροποιόν* L *φθειριᾶ* M 23 *αὐτόν* Wellmann : *ἑαυτὴν* codd., cf. adn. 4 30 *αὐτὴν* Needham : *αὐτῆι* vel *αὐτῇ* codd. 32 *αὐτὴν · πάντως δὲ εἰ* M

κατέχει τῇ χειρὶ γλῶσσαν ὑαίνης, μεγίστην ἕξει φυλακὴν πρὸς τὴν τῶν κυνῶν ἐπιδρομήν (7).

14. Καρκῖνος προσενεχθείσης αὐτῷ πολύποδος βοτάνης ἀποβάλλει τὰς χηλάς· νυκτερίδες κισσοῦ θυμιωμένου θνήσκουσι· γύπες ἀπόλλυνται μύρου ὀσμῇ (8). 15. Ὄφις θνήσκει δρυὸς φύλλων ἐπιβληθέντων αὐτῷ· οὐ κινηθήσεται ὄφις πτεροῦ ἴβεως αὐτῷ ἐπιῤῥιφέντος (9). 16. Ἔχις πληγεὶς ἅπαξ καλάμῳ ναρκᾷ, πλεονάκις δέ, ῥώννυται (10)· τῇ ἐχίδνῃ φηγοῦ κλωνίον ἐὰν προσαγάγῃς, πτήσσει. 17. Χελώνη ὄφεως φαγοῦσα νοσεῖ, ἐπιφαγοῦσα δὲ ὀρίγανον ὑγιαίνει. 18. Πελαργοὶ πλατάνου φύλλα ταῖς νεοττιαῖς ἐντιθέασι διὰ τὰς νυκτερίδας. 19. Χελιδόνες διὰ τὰς σίλφας σέλινον ἐντιθέασι, φάτται δάφνην, κιρκοὶ ἀγρίαν θριδακίνην, ἅρπαι κισσόν, κόρακες ἄγνον, ἔποπες ἀδίαντον, κορῶναι περιστερεῶνα τὸν ὕπτιον, κορυδοὶ ἄγρωστιν, ὅθεν καὶ ἡ παροιμία

Ἐν κορυδοῦ κοίτῃ σκολιὴ κέκρυπται ἄγρωστις,

κίχλα μυρσίνην, πέρδιξ καλάμου φορβήν, ἐρωδιὸς καρκῖνον, ἀετὸς καλλίτριχον.

20. Θεόφραστος καὶ Ἀριστοτέλης φασὶ τὰ ζῷα οὐ μόνον ἐξ ἀλλήλων γεννᾶσθαι, ἀλλὰ καὶ αὐτόματα γίνεσθαι καὶ ἀπὸ τῆς γῆς σηπομένης (11)· αὐτῶν δὲ τῶν ζῴων καὶ τῶν φυτῶν μεταβάλλεσθαί τινα εἰς ἕτερα. 21. καὶ γὰρ τὴν κάμπην φασὶν εἰς ζῷον ἕτερον πτερωτόν, τὴν καλουμένην ψύχην, καὶ τὰς ἀπὸ τῆς συκῆς κάμπας εἰς κανθαρίδας, τόν τε ὕδρον εἰς ἔχιν ξηραινομένων τῶν λιμνῶν. 22. Ἔνια δὲ καὶ κατὰ τὰς ὥρας δοκεῖ μεταβάλλειν, ὥσπερ ὁ ἱέραξ καὶ ὁ ἔποψ μεταβάλλει καὶ ὁ ἐρίθακος καὶ οἱ καλούμενοι φοινίκουροι θερινοί. 23. οὕτω καὶ <αἱ> συκαλλίδες καὶ οἱ μελαγκόρυφοι· καὶ γὰρ καὶ αὐτοὶ μεταβάλλουσιν εἰς ἀλλήλους· γίνεται δὲ ἡ συκαλλὶς περὶ τὴν ὀπώραν, ὁ δὲ μελαγκόρυφος εὐθὺς μετὰ τρυγητόν.

24. Οἱ θαλάττιοι ὄρνιθες ἐὰν ἑλκωθῶσι τὸ ῥάμφος, ὀριγάνῳ ἰῶνται. σκορπίον ἀναιρεῖ ῥάφανος ἐπιτεθεῖσα αὐτῷ. ἐὰν ὁ πληγεὶς ὑπὸ σκορπίου ὑπὲρ ὄνου καθίσῃ ὄρθιος πρὸς τῇ οὐρᾷ ἐπιβλέπων, ὁ ὄνος ἀλγήσει ὑπὲρ αὐτοῦ. σημεῖον δέ, ὅτι περδόμενος διατελεῖ. 25. ἐὰν ὁ πληγεὶς ὑπὸ σκορπίου εἰς τὸ οὖς εἴπῃ τοῦ ὄνου· « σκορπίος με ἔπληξεν », οὐκ ἀλγήσει, εἰς τὸν ὄνον μετελθούσης τῆς ἀλγηδόνος (12).

26. Οἱ μύρμηκες, ἵνα ὁ σῖτος ἀποθησαυριζόμενος παρ' αὐτῶν μὴ φύῃ, τὰς ἐντεριώνας τῶν ῥαγῶν ἀφαιροῦσι.

27. Τὰ ἐν τῷ σπείρεσθαι σπέρματα ἁπτόμενα τοῦ κέρατος τοῦ βοὸς ὑπὸ πυρὸς οὐ δαπανᾶται. καλεῖται δὲ τὰ τοιαῦτα κερασβόλα. 28. ἡ μαγνῆτις λίθος ἤτοι σιδηρῖτις ἐφέλκεται τὸν σίδηρον· ἐκπνεῖ δὲ σκορόδου προστριβέντος αὐτῇ, ἀναζῇ δὲ πάλιν τραγείου αἵματος ἐπιχυθέντος αὐτῇ. 29. ὁ ἠλεκτριωνὸς λίθος, ἤτοι σουγχῖνος, πάντα τὰ ἀχυρώδη καὶ κοῦφα ἕλκει πρὸς ἑαυτόν, πλὴν ὠκίμου (13).

8 φυτοῦ κλονίου L 12 ἀδίαντον Gronovius ex Ael., *Nat. an.* I, 35 (cf. Wellmann p. 38) : ἀμίαντον codd. 15 μυραίνης, πέρδιξ δὲ καλάμου βολβὸν L 23 ὁ ἔποπος M 24 ἐρίθακος Needham ex Arist. *Hist. an.*, 1, IX, 46 : σερίθακος vel σερίδακος codd. 25 αἱ suppl. Beckh 36 τῶν κεράτων L 40 σουχῖνος aut σογχῖνος L

30. Ὁ ἀετίτης λίθος δύο φύσεις ἔχει (14) · ὁ μὲν γάρ ἐστι ναστὸς καὶ στιβαρός, ὁ δὲ ἀραιὸς καὶ διάκενος. ἀλλ' ὁ μὲν ναστὸς περιαπτόμενος τοῖς ἀνδράσι συμβάλλεται αὐτοῖς περὶ τὴν σποράν · ὁ δὲ κοῦφος περιαπτόμενος ταῖς γυναιξὶ τελεσφορεῖ τὰ κυοφορούμενα. 31 ὁ κουράλιος λίθος κείμενος ἐν τῇ οἰκίᾳ πάντα φθόνον καὶ ἐπιβουλὴν ἐλαυνει (15) · τὰ αὐτὰ δὲ ποιεῖ καὶ τὰ κάρφη τῆς ἐβένου καὶ αἱ ῥίζαι τῆς ἀσπαλάθου καὶ ἡ εὐώδης ἀναγαλλὶς βοτάνη καὶ ἡ σκίλλα ξηραινομένη καὶ ἐν τῷ προθύρῳ τῆς οἰκίας κειμένη. 32. ἡ γαγάτης λίθος θυμιωμένη τὰ ἑρπετὰ διώκει.

Αὕτη δὲ ἡ λίθος ψυχρῷ ὕδατι βρεχομένη καὶ πυρὶ προσφερομένη ἅπτεται μάλα λαμπρῶς, ὡς ὁ Νέστωρ ἐν τῇ πανακείᾳ αὐτοῦ φησιν · ἐλαίου δὲ ἐπιβαλλομένου αὐτῇ, σβέννυται.

33. Τὸ ἀμίαντον κρεῖττόν ἐστι τῆς τοῦ πυρὸς δυνάμεως καὶ οὐ καίεται, κἂν ἐπὶ πολὺν χρόνον μείνῃ ἐν τῷ πυρί. 34. ὁμοίως δὲ καὶ ἡ σαλαμάνδρα τὸ ἐλάχιστον ζῷον ἐκ τοῦ πυρὸς ἔχει τὴν γέννησιν καὶ ἐν τῷ πυρὶ βιοῖ, οὐ καιόμενον ὑπὸ τῆς φλογός. 35. ταῦροι τοὺς μυκτῆρας ῥοδίνῳ χρισθέντες σκοτοῦνται. τράγος οὐ φεύξεται, ἐὰν κείρῃς αὐτοῦ τὸν πώγωνα (16).

8 ἡ γαγάτις F et per comp. HM : ὁ σαγάτης L

(1) Il est difficile de savoir ce qui peut provenir du Περὶ φύσεως dans ce chapitre, mis à tort sans doute sous le nom de Zoroastre, car l'introduction, où Plutarque est cité, est manifestement due à Cassianus Bassus, le compilateur des *Geoponica*. Où celui-ci a-t-il recueilli « les plus paradoxales des sympathies et antipathies » qu'il prétend nous offrir ? Il cite Platon, (le Pseudo-) Aristote, Théophraste, Pamphile, mais nulle part Zoroastre. Un passage du livre XIII, c. 8, des *Geoponica*, où sont mentionnés Démocrite et Apulée, a été introduit dans notre morceau sans le nom de ces auteurs, et il en est de même d'une citation d'Apulée tirée du chapitre suivant (notes 9-12). Ces traductions du latin nous éloignent beaucoup de Zoroastre. Wellmann, qui a étudié à deux reprises (*Hermès*, LI, p. 50 ss., et surtout *Die Physika des Bolos* [*Abhandl. Akad. Berlin*, 1928, nº 7], p. 29, n. 1) le pot-pourri de Cassianus Bassus sur les sympathies physiques, aboutit à la conclusion que la plus grande partie (les §§ 6 à 10, 14, 17 à 19, 24 jusqu'à αὐτῷ, 26 à 33, 45) en est empruntée au botaniste Pamphile, qui vivait sous les Flaviens (Introd., p. 116). La source de Pamphile pourrait être Bolos de Mendès, dont l'ouvrage principal avait précisément pour titre Περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν, et Bolos lui-même a probablement puisé dans le Περὶ φύσεως zoroastrien (Introd., p. 118). Mais, à supposer même que cette filiation soit démontrée, Cassianus Bassus ne l'a vraisemblablement pas connue. Il se pourrait donc que le nom de Zoroastre, absent dans presque tous les manuscrits, ne figurât en tête de ce morceau que par suite de quelque erreur. Toutefois certains rapprochements que nous avons

signalés dans les notes, permettent de croire que la mention de cet auteur vénérable n'est pas sans raison d'être. — Wellmann (pp. 29-50) a réuni pour chacun des paragraphes de nombreux passages parallèles tirés des naturalistes de l'antiquité et du moyen âge. Nous y renvoyons ceux qui voudraient approfondir la doctrine des sympathies et antipathies magiques.

(2) Plutarque, *Quaest. conviv.*, II, 7 sq., p. 641 C et 642 AB.

(3) Il s'agit en réalité d'un commentaire de la *République* ; cf. Proclus, cité n. 4 ; Ambroise et autres références chez Wellmann, p. 35.

(4) Proclus, *In Remp.*, I, 290, 17 : *Ἡ γὰρ ὕαινα, φασί, τὴν τοῦ κυνὸς ἐν ὕψει καθημένου πατήσασα σκιὰν καταβάλλει καὶ θοίνην ποιεῖται τὸν κύνα* ; Pline, VIII, 106 : « Umbrae eius (hyaenae) contactu canes obmutescere tradunt ». — Sur le coq et le lion, cf. Proclus, *Catal. mss. alchim.*, t. VI, p. 50, 7, et en général, Pline, XXVIII, 92 : « Hyaenam M a g i ex omnibus animalibus in maxima admiratione » etc.

(5) Nestor de Laranda, qui vivait sous Septime Sévère.

(6) Pline, XXVIII, 93 : « Cum fugiant venantem, declinare ad dexteram (traduntur), ut praegressi hominis vestigia occupent ; quod si successerit, alienari mentem ac vel ex equo hominem decidere ; at si in laeva detorserit, deficientis argumentum esse celeremque capturam ; facilius autem capi, si cinctus suos venator flagellumque inperitans equo septenis alligaverit nodis. mox, ut est sollers ambagibus vanitas Magorum, capi iubent Geminorum signum transeunte luna, singulosque prope pilos servari ». Cf. Wellmann, p. 50.

(7) *Coeranides*, p. 76, n° 14 Ruelle : *Ἐὰν δέ τις τὴν γλῶσσαν αὐτῆς (ὑαίνης) φορῇ ἐν ἀριστερῷ ὑποδήματι καὶ πορεύσηται, φιμωθήσονται πάντες κύνες καὶ ἄνθρωποι · ἔστι γὰρ φιμοκάτοχος.*

(8) Attribué à Aristote, *Geop.*, XIII, 16, 3.

(9) Attribué à Démocrite, *Geop.*, XIII, 8, 5.

(10) *Geopon.*, XIII, 8, 6 : *Ἀ π ο υ λ ή ϊ ό ς φησι τὸν ὄφιν καλάμῳ ἅπαξ πληγέντα ναρκᾶν, πλεονάκις δέ, ῥώννυσθαι.* — Cf. note 12.

(11) Sur la « pourriture », *σηπεδόνη*, d'où naissent les animaux, cf. *supra*, fr. D 1, p. 64, l. 1 s.

(12) *Geop.*, XIII, 9, 4 : *Ἀ π ο υ λ ή ϊ ό ς φησι τὸν πληγέντα ὑπὸ σκορπίου ὑπὲρ ὄνου καθίσαι πρὸς τὴν οὐρὰν ἐστραμμένον καὶ τὸν ὄνον ἀλγεῖν ὑπὲρ αὐτοῦ καὶ πέρδεσθαι.* — Cf. aussi Théodore Priscianus, *Appendix*, p. 398, § 202 éd. Rose : « *Ad morbum regium : regio morbo tentus asinum diu ac frequenter intuens remediabitur* ».

(13) Pour les §§ 27-29, cf. Plutarque, *Quaest. conviv.*, VII, 2 et II, 7, et Wellmann, *Bolos*, p. 29, avec la n. 3.

(14) Pline XXXVI, 21, § 149, distingue aussi deux espèces d'aétite : « In Africa nascentem pusillum ac mollem.... feminei sexus putant, marem autem, qui in Arabia nascatur, durum ». — Zoroastre parlait des propriétés de cette pierre dans son lapidaire, cf. *infra*, fr. O 61, et la note p. 201.

(15) Comparer ce que dit du corail le lapidaire de Zoroastre, *infra*, fr. O 59, et la note, p. 200 : « In domo positus » etc.

(16) *Geop.*, XVIII, 9, 7 : *Τράγος δὲ οὐ φεύξεται, ἐὰν κείρῃς αὐτοῦ τὸν πώγωνα.* Pline, *N. H.*, XXVIII, 198 : « Adferunt et Magi sua commenta : primum omnium rabiem hircorum, si mulceatur barba, mitigari, eadem praecisa non abire eos in alienum gregem. »

---

4. — *ΠΕΡΙ ΛΙΘΩΝ ΤΙΜΙΩΝ*.

[cf. Introduction, p. 128 ss.].

O 53. SUIDAS [*supra*, p. 140, fr. O 5] :

Φέρεται (Ζωροάστρου) Περὶ λίθων τιμίων α'.

O 54. PLINE, *H. N.*, I, § 77, citant les sources pour le livre XXXVII (I, p. 128 Mayhoff) :

Ex auctoribus externis... Alexandro polyhistore, Apione, Oro, Zoroastre, Zachalia.

O 55. PLINE, *H. N.*, XXXVII, 49, § 133 (V, p. 441 M.) :

Celebrant et astrioten, mirasque laudes eius in magicis artibus Zoroastren cecinisse produnt (1).

Var. astrionem ; astroiten *edd., forsan recte* ; *cf. infra, adn.* 1.

(1) Le nom de cette plante ne se retrouve pas ailleurs, semble-

t-il. Seul le poète byzantin Méliténiotès, dans son énumération des pierres (vers 1130), nomme l'ἀστρώτην θεῖον, que Miller a corrigé en ἀστροΐτην (cf. F. de Mély et Ruelle, *Les lapidaires grecs*, p. 206). Dans le Ps.-Plutarque, *De Fluviis*, XII, 3, il est question d'une pierre καλούμενος ἀστήρ, qui brille comme un feu dans une nuit profonde au début de l'automne. Cf. aussi Dioscoride, V, 142 (λίθος... ἄστριος καλούμενος).

O 56. Pline, *H. N.*, XXXVII, 55, § 150 (V, p. 449 M.) :

Bostrychitin Zoroastres crinibus mulierum similiorem vocat.

Bostrychitin *Sillig*, bostrygiten *vel* bostraciten *codd.*

Cf. Marcellus, *De medicam.*, VIII, 98 : « Lapidem bostrychitin tecum semper habeto, qui ad aciem oculorum excitandam efficaciter prodest. » Méliténiotès, *l.c.*, vers 1140 : βοστρυχίτην. Cf. aussi Hermès, Ἱερὰ βίβλος, chez Pitra, *Analecta sacra*, V, 2, p. 286 = Ruelle, *Revue de Philologie*, XXXII, 1908, p. 254, 43.

O 57. Pline, *H. N.*, XXXVII, 57, § 157 (V, p. 453 M.) :

Daphnean Zoroastres morbis comitialibus demonstrat.

Var. dapnean, daphniam.

